Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

Eusebius <Caesariensis>

Mogvntiae, 1672

LVI. Quomodo omnes quidem Christianos esse optavit; neminem autem coëgit.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

ὑφηγήσεσιν ἐνεστησάμην σωτηριώδη πράγματα καὶ διήνυσα. τὴν σὴν σφραγῖδα πανταχοῦ προβαλλόμενος, καλλινίκου ἡγησάμην στρατοῦ· κἄν πού τις τῶν δημοσίων καλῇ χρεία, τοῖς αὐτοῖς τῆς σῆς ἀρετῆς ἑπόμενος συνθήμασιν, ἐπὶ τοὺς πολεμίους πρόειμι. διὰ ταῦτά τοι ἀνέθηκά σοι τὴν ἐμαυτοῦ ψυχήν, ἔρωτι καὶ φόβῳ καθαρῶς ἀνακραθεῖσαν. τὸ μὲν γὰρ ὄνομά σου γνησίως ἀγαπῶ. τὴν δὲ δύναμιν εὐλαβοῦμαι, ἣν πολλοῖς τεκμηρίοις ἔδειξας, καὶ τὴν ἐμὴν πίστιν βεβαιοτέραν εἰργάσω. ἐπείγομαι γοῦν καὶ τοὺς ὤμους αὐτὸς ὑποσχὼν τοὺς ἐμούς, τὸν ἁγιώτατόν σοι οἶκον ἀνανεώσασθαι. ὃν οἱ μυσαροὶ ἐκεῖνοι καὶ ἀσεβέστατοι, τῷ ἀτοπήματι τῆς καθαιρέσεως ἐλυμήναντο.

A mine & sancte Deus. Tuo enim ductu atque auspicio res salutares suscepi atque perfeci. Tuum signum ubique præferens, victorem exercitum duxi. Et quotiescumque publica exigit necessitas; tuæ virtutis insignia sequens, adversus hostes progredior. Has ob causas tibi animum meum dicavi, amore simul ac timore probè temperatum. Nam nomen quidem tuum sincerè diligo: potentiam autem quam multis documentis declarasti, & quâ fidem meam confirmasti, religiosè formido. Festino itaque meos ipse humeros operi suppo-
B nens, ut sanctissimam domum tuam, quam nefarii illi atque impii scelerata eversione vastarunt, denuo instaurem.

## ΚΕΦΑΛΑΙΟΝ Νϛʹ.

Ὅτι προσεύχεται μὲν χριστιανοὺς εἶναι πάντας, οὐκ ἀναγκάζει δέ.

Εἰρηνεύειν σου τὸν λαὸν καὶ ἀστασίαστον μένειν ἐπιθυμῶ, ὑπὲρ τοῦ κοινοῦ τῆς οἰκουμένης καὶ τοῦ πάντων ἀνθρώπων χρησίμου. ὁμοίαν τοῖς πιστεύουσιν οἱ πλανώμενοι χαίροντες λαμβανέτωσαν εἰρήνης τε καὶ ἡσυχίας ἀπόλαυσιν. αὕτη γὰρ ἡ τῆς κοινωνίας ἐπανόρθωσις, καὶ πρὸς τὴν εὐθεῖαν ἀγαγεῖν ὁδὸν ἰσχύει. μηδεὶς τὸν ἕτερον παρενοχλείτω. ἕκαστος ὅπερ ἡ ψυχὴ βούλεται, τοῦτο καὶ πραττέτω. τοὺς δ᾽ εὖ φρονοῦντας πεπεῖσθαι χρή, ὡς οὗτοι μόνοι ἁγίως καὶ καθαρῶς βιώσονται, οὓς αὐτὸς καλεῖς ἐπαναπαύεσθαι τοῖς σοῖς ἁγίοις νόμοις. οἱ δ᾽ ἑαυτοὺς ἀφέλκοντες, ἐχόντων βουλόμενοι τὰ τῆς ψευδολογίας τεμένη· ἡμεῖς ἔχομεν τὸν φαιδρότατον τῆς σῆς ἀληθείας οἶκον, ὅνπερ κατὰ φύσιν δέδωκας. τοῦτο κἀκείνοις εὐχόμεθα, ἵνα δηλαδὴ διὰ τῆς κοινῆς ὁμονοίας καὶ αὐτοὶ τὴν θυμηδίαν ἀναφέρωνται.

## Caput LVI.

*Quomodo omnes quidem Christianos esse optavit, neminem autem coëgit.*

EQuidem populum tuum pacatè ac sine ulla seditione degere, pro communi totius orbis & cunctorum mortalium utilitate desidero. Qui autem gen-
C tilitatis errore implicati sunt, ipsi quoque eandem cum fidelibus pacis & quietis oblectationem læti percipiant. Hæc enim communionis ac societatis mutuæ reparatio, ad homines in rectam viam reducendos plurimùm valet. Nemo alteri molestiam facessat. Quod cuique libitum fuerit, id agat. Illud tamen apud eos qui rectè sentiunt fixum ratúmque esse oportet, solos illos sanctè castéque esse victuros, quos tu ipse ad hoc vocavisti, ut sacrosanctis tuis legibus acquiescant. Qui verò seipsos subtrahunt, habeant sibi mendaciorum delubra, quando ita volunt. Nos splendidissi-
D mam domum veritatis tuæ quam nascentibus nobis donasti, retinemus. Id ipsum illis quoque optamus; ut scilicet ex communi omnium consensu atque concordia maximam capiant voluptatem.

## ΚΕΦΑΛΑΙΟΝ ΝΖʹ.

Δοξολογία εἰς Θεὸν δι᾽ υἱοῦ φωτίσαντος τοὺς πλανωμένους.

Οὐ γάρ ἐστι καινὸν οὐδὲ νεώτερον τὸ καθ᾽ ἡμᾶς. ἀλλ᾽ ἐξ οὗπερ τὴν τῶν ὅλων διακόσμησιν παγίως γεγενῆσθαι πεπιστεύκαμεν, μετὰ τοῦ πρέποντός σου σεβάσματος τοῦτο παρεκελεύσω. ἐσφάλη δὲ τὸ ἀνθρώπινον γένος, πλάναις

## Caput LVII.

*Gloriam tribuit Deo qui per Filium suum errantes illuminavit.*

NEque enim nova ac recens est nostra religio: sed ex quo hujus mundi fabricam aptè dispositam stetisse credimus, tu hanc religionem cum debita tui Numinis observantia instituisti. Porro humanum genus variis seductum er-